ΑΓΑ. τάχα δὲ Καδμεῖοι
ΧΟ. καὶ παῖς γε Πενθεὺς ματέρ'
ΑΓΑ. ἐπαινέσεται,
λαβοῦσαν ἄγραν τάνδε λεοντοφυῆ
ΧΟ. περισσὰν ΑΓΑ. περισσῶς. ΧΟ. ἀγάλλει;
ΑΓΑ. γέγηθα
μεγάλα μεγάλα καὶ
φανερὰ τᾷδε γᾷ κατειργασμένα.
ΧΟ. δεῖξόν νυν, ὦ τάλαινα, σὴν νικηφόρον
ἀστοῖσιν ἄγραν, ἣν φέρουσ' ἐλήλυθας.
ΑΓΑ. ὦ καλλίπυργον ἄστυ Θηβαίας χθονὸς
ναίοντες, ἔλθεθ', ὡς ἴδητε τήνδ' ἄγραν,
Κάδμου θυγατέρες θηρὸς ἣν ἠγρεύσαμεν,
οὐκ ἀγκυλωτοῖς Θεσσαλῶν στοχάσμασιν,
οὐ δικτύοισιν, ἀλλὰ λευκοπήχεσιν
χειρῶν ἀκμαῖσι. κᾆτα κομπάζειν χρεὼν
καὶ λογχοποιῶν ὄργανα κτᾶσθαι μάτην;
ἡμεῖς δὲ ταύτῃ χειρὶ τόνδε θ' εἵλομεν
χωρίς τε θηρὸς ἄρθρα διεφορήσαμεν.
ποῦ μοι πατὴρ ὁ πρέσβυς; ἐλθέτω πέλας.
Πενθεύς τ' ἐμὸς παῖς ποῦ 'στιν; αἰρέσθω λαβὼν
πηκτῶν πρὸς οἴκους κλιμάκων προσαμβάσεις,
ὡς πασσαλεύσῃ κρᾶτα τριγλύφοις τόδε
λέοντος, ὃν πάρειμι θηράσασ' ἐγώ.
ΚΑ. ἕπεσθέ μοι φέροντες ἄθλιον βάρος
Πενθέως, ἕπεσθε, πρόσπολοι, δόμων πάρος,
οὗ σῶμα μοχθῶν μυρίοις ζητήμασι
φέρω τόδ' εὑρὼν ἐν Κιθαιρῶνος πτυχαῖς
διασπαρακτὸν, κοὐδὲν ἐν ταὐτῷ πέδῳ
λαβὼν, ἐν ὕλῃ κείμενον δυσευρέτῳ.
ἤκουσα γάρ του θυγατέρων τολμήματα,
ἤδη κατ' ἄστυ τειχέων ἔσω βεβὼς
σὺν τῷ γέροντι Τειρεσίᾳ βακχῶν πάρα·
πάλιν δὲ κάμψας εἰς ὄρος κομίζομαι
τὸν κατθανόντα παῖδα μαινάδων ὕπο.
καὶ τὴν μὲν 'Ακταίων' 'Αριστέᾳ ποτὲ